577
ΤΡΟ
ΙΩΑΝΝΗΣ Κ. ΘΗΧΑΣ
ΦΟΡ.

# ΠΕΡΙ ΕΥΘΥΜΙΟΥ ΝΕΩΝ ΠΑΤΡΩΝ ΤΟΥ ΜΑΛΑΚΗ

ΥΠΟ

**ΜΑΞΙΜΙΛΙΑΝΟΥ ΤΡΟΫ**

Εὐθύμιος ὁ τῶν Νέων Πατρῶν δὲν μνημονεύεται ἤδη ὑπὸ τοῦ Φαβρικίου ἐν τῇ Bibliotheca Graeca, ἀλλ' ἔγεινε γνωστὸς τὸ πρῶτον ἐν τοῖς νεωτέροις χρόνοις διὰ τοῦ Tafel καὶ τοῦ Σπυρίδωνος Λάμπρου.

Καὶ παρὰ μὲν τοῦ Tafel ἐδημοσιεύθησαν τῷ 1832 ἐν τῇ παρ' αὐτοῦ γενομένῃ ἐκδόσει τῶν ἔργων τοῦ Εὐσταθίου Θεσσαλονίκης τρεῖς ἐπιστολαὶ τοῦ Εὐσταθίου πρὸς τὸν Εὐθύμιον (1), εἶτα δὲ τῷ 1839 ἐν τῇ περὶ Θεσσαλονίκης συγγραφῇ αὐτοῦ Μονῳδία τοῦ σοφωτάτου κυροῦ Εὐθυμίου, ἀναγνωσθεῖσα ἐπὶ τῷ τάφῳ τοῦ ἁγιωτάτου Θεσσαλονίκης κυροῦ Εὐσταθίου, μετά τινας ἡμέρας τῆς αὐτοῦ τελευτῆς (2). Μανθάνομεν δ' ἐκ ταύτης τῆς Μονῳδίας, ὅτι τοῦ Εὐσταθίου ἦτο ὁ Εὐθύμιος συνηλικιώτης καὶ σύντροφος, ὃς καὶ μαθημάτων συμμετέσχον αὐτῷ καὶ τὸν πάντα τῆς νεότητος χρόνον συνηυλίσθην τε καὶ συνέζησα, καθ' ἃ λέγει περὶ ἑαυτοῦ (3). Εὑρίσκετο δ' ἐν τακτικῇ μετὰ τοῦ Εὐσταθίου ἐπιστολικῇ ἀνταποκρίσει, διὸ καὶ λέγει· παρ' ἐμοὶ δὲ ἄρα καὶ φάκελλοι πολλοὶ τῶν ἐπιστολῶν (4).

Ὁ δὲ Λάμπρος ἐδημοσίευσεν ἐν τῇ πλείστου λόγου ἀξίᾳ ἐκδόσει τῶν ἔργων τοῦ Ἀκομινάτου ἓξ ἐπιστολὰς γραφείσας ὑπὸ τοῦ Μιχαὴλ, ὅτε ἦτο μητροπολίτης Ἀθηνῶν, πρὸς τὸν Εὐθύμιον (5). Ἦτο

(1) Opuscula Eustathii metropolitae Thessalonicensis σ. 348 - 350.
(2) De Thessalonica ejusque agro σ. 394 - 400.
(3) Μονῳδία παρὰ Tafel σ. 400.
(4) Αὐτόθι σ. 369.
(5) Μιχαὴλ Ἀκομινάτου τοῦ Χωνιάτου τὰ σωζόμενα. Τόμ. Β' σ. 25 (ἀρ. ιθ'), σ.


Ε' - 1896 - 1900

δ' ὁ Εὐθύμιος τῷ 1166 μητροπολίτης Νέων Πατρῶν. Τὸ δ' ἔτος τοῦ θανάτου αὐτοῦ εἶνε ἄγνωστον ἡμῖν, πιθανῶς δ' ἀπέθανε βραχὺν χρόνον μετὰ τὸν Εὐστάθιον Θεσσαλονίκης, ἤτοι μετὰ τὸ 1192. Πρὸς τούτοις δ' ὀρθῶς ἀναγράφει ὁ Λάμπρος, ὅτι ἔν τινι τῶν ἐπιστολῶν τοῦ μεγάλου δρουγγαρίου Γρηγορίου τοῦ Ἀντιόχου ἐν τῷ Ἐσκουριαλείῳ κώδικι Υ-ΙΙ-10 ἀνεφέρετο τὸ οἰκογενειακὸν ὄνομα τοῦ Εὐθυμίου, ὅςτις ἐπωνομάζετο Μαλάκης (1).

Πλὴν δὲ τῆς εἰς τὸν Εὐστάθιον μονῳδίας εἶνε μέχρι τοῦδε γνωστὰ τὰ ἑξῆς ἔργα τοῦ Εὐθυμίου·

α΄) Ἀπόσπασμα Ὁμιλίας Δι' ἣν αἰτίαν τὸ τοῦ σταυροῦ ξύλον ἐν μέσῳ τοῦ τῶν νηστειῶν καιροῦ προτίθεται προςκυνούμενον. Εὕρηται δὲ παρὰ Λέοντι τῷ Ἀλλατίῳ (2), εἰλημμένον ἐκ τοῦ βατικανικοῦ κώδικος 672 φ. 280 β. Τῶν δὲ λέξεων Δι' ἣν αἰτίαν προτάσσεται ἐν τῷ χειρογράφῳ ἡ ἐπιγραφὴ Εὐθυμίου τοῦ νέων Πατρῶν.

β΄) Ἐπιστολὴ τοῦ ὑπερτίμου Νέων Πατρῶν κυροῦ Εὐθυμίου πρὸς Μιχαὴλ τὸν Ἀκομινᾶτον, ἣν ἐξέδωκεν ὁ Λάμπρος (3). Ὀρθῶς δὲ λέγει ὁ ἐκδότης, ὅτι ἡ ἐπιστολὴ εἶνε τοῦ Εὐθυμίου Μαλάκη (4). Ἀλλ' ἐσφαλμένως ἀναφέρεται ἔν τε τῇ ἐπιγραφῇ τῆς ἐπιστολῆς ἐν τῷ δευτέρῳ τόμῳ καὶ ἐν σ. 658, ὅτι τὴν ἐπιστολὴν ἔγραψεν ὁ Εὐθύμιος Τορνίκης. Καὶ ἔγραψε μὲν πράγματι Μιχαὴλ ὁ Χωνιάτης διαφόρους ἐπιστολὰς πρὸς τὸν Εὐθύμιον Τορνίκην, ἀλλ' οὐδεμία αὐτῶν ἐγράφη ἐξ Ἀθηνῶν, ἅπασαι δ' ἐστάλησαν παρ' αὐτοῦ ἐκ τῆς ἐν τῇ νήσῳ Κέῳ ἐξορίας, ἤτοι μετὰ τὸ ἔτος 1204, οὐδ' ὑπῆρξεν οὐδέποτε ὁ Τορνίκης, ὅςτις ἦτο πολὺ νεώτερος τοῦ Μιχαὴλ Ἀκομινάτου (5), μητροπολίτης Νέων Πατρῶν. Οὐδεμία δ' ὑπάρχει ἀμφιβολία, ὅτι τὴν ἐπιστολὴν ἐκείνην ἔγραψεν ὁ Εὐθύμιος Μαλάκης τῷ

26 κ. ἑ. (ἀρ. κ΄), σ. 35 κ. ἑ. (ἀρ. κγ΄), σ. 37 κ. ἑ. (ἀρ. κδ΄), σ. 119 κ. ἑ. (ἀρ. ογ΄), σ. 127 (ἀρ. οθ΄).

(1) Ἔνθ' ἀν. Τόμ. Β΄ σ. 559.

(2) *Λέοντος Ἀλλατίου* Dissertatio de dominicis et hebdomadibus recentiorum Graecorum (De ecclesiae occid. atque Orient. perpetua inventione. Colonia Agr. σ. 1438).

(3) Ἔνθ' ἀν. Τόμ. Β΄ σ. 399-400.

(4) Ἔνθ' ἀν. σ. 558.

(5) Ἔνθ' ἀν. Τόμ. Β΄ σ. 159, 31 κ. ἑ.

1175 ἢ 1176, βραχὺν χρόνον μετὰ τὴν χειροτονίαν τοῦ μὲν Εὐσταθίου ὡς μητροπολίτου Θεσσαλονίκης, τοῦ δὲ Μιχαὴλ ὡς μητροπολίτου Ἀθηνῶν, καθ' ὃν χρόνον πατριάρχης Κωνσταντινουπόλεως ἦτο Μιχαὴλ Γ' ὁ τοῦ Ἀγχιάλου (1169-1177). Καὶ ταῦτα διότι εἶνε φανερὸν, ὅτι ἡ εἰκοστὴ ἐπιστολὴ τοῦ Μιχαὴλ Ἀκομινάτου εἶνε ἀπάντησις εἰς τὴν προμνημονευθεῖσαν ἐπιστολὴν τοῦ Εὐθυμίου Μαλάκη. Καὶ δὴ ὁ Εὐθύμιος παραπονεῖται, ὅτι ἀναγκάζεται νὰ εὑρίσκηται ἐν Κωνσταντινουπόλει κατ' αὐτὸν ἐκεῖνον τὸν χρόνον, καθ' ὃν ἐγκαταλείπουσι τὴν πόλιν ὁ Θεσσαλονίκης καὶ ὁ Ἀθηνῶν, καὶ μόνη ὑπολείπεται εἰς αὐτὸν ἡ ἐπικοινωνία μετὰ τοῦ πατριάρχου. Μακαρίζει δὲ τὰς Ἀθήνας, ὅτι ἔτυχον μητροπολίτου ἐπαξίου αὐτῶν. Ὁ δὲ Μιχαὴλ ἀνταπαντᾷ· Εἰ (Εὐθυμίῳ) συνόντι τῷ πατριάρχῃ οὐ φορητὴ φίλου ἑνὸς ἢ καὶ δευτέρου στέρησις, τί ἂν ἡμεῖς (Μιχαὴλ) πάθοιμεν, ἑταιρίας πάσης ἐστερημένοι; Ἐν δὲ τῷ πρώτῳ μέρει τῆς ἐπιστολῆς λέγει περαιτέρω, ὅτι ἡ διαμονὴ ἐν τῇ ποτὲ περιωνύμῳ πόλει τῶν Ἀθηνῶν δὲν εἶνε ἰδιαζόντως ἀξιόζηλος (1).

Καὶ ταῦτα μὲν τὰ μέχρι τοῦδε γνωστὰ ἔργα τοῦ Εὐθυμίου Μαλάκη. Ἐκ συμπτώσεως δ' ἀγαθῆς εὑρίσκομαι εἰς θέσιν νἀνακοινώσω καὶ ἄλλας τινὰς συγγραφὰς αὐτοῦ.

Ἐν τῷ φιλιππείῳ κώδικι (Codex Philippicus) ὑπ' ἀρ. 1480, ὅςτις ἀνήκει τὰ νῦν εἰς τὴν βασιλικὴν βιβλιοθήκην τοῦ Βερολίνου, εὕρηται γεγραμμένον ἐν τῷ τελευταίῳ παραφύλλῳ διὰ χειρὸς τοῦ παρελθόντος αἰῶνος τὸ σημείωμα τόδε· Hoc volumine continentur 1. Euthymii Zigabeni Epistolae Graece. Ἡ δὲ σημείωσις αὕτη ἔγεινε προφανῶς ἡ ἀφορμὴ, ὅπως οἱ ἐκδόται τοῦ καταλόγου τῶν εἰς τὸν Ἄγγλον Philipps ἄλλοτε ἀνηκόντων χειρογράφων τούτων ἀναγράψωσιν ὡς πρώτην ἐν τῷ κώδικι περιεχομένην ὕλην τάδε· 1. Fol. 1-14r Sup: Euthymii Zigabeni epistulae XXIII (2). Ἀλλ' ἡ ἀπόδοσις αὕτη εἶνε ἐσφαλμένη, ὡς εὐκόλως διαγινώσκεται ἐκ τῆς ἐπι-

(1) Πρβλ. ἰδίως τὴν ἐν τῇ ἐπιστολῇ τοῦ Μαλάκη (Ἀκομινάτου τόμ. Β' σ. 400,1) ἔκφρασιν *τὰς χρυσέας ζώνας* πρὸς τὰ ἐν τῇ πρὸς τὸν Εὐθύμιον ἐπιστολῇ τοῦ Μιχαὴλ (αὐτ. σ. 27, 1) *οὐδὲ ἡ ποτὲ χρυσῆ ζώνη ἔτι χρυσῆ.*

(2) Codices ex Bibliotheca Meermanniana Philippici Graeci nunc Berolinenses. Descripseruut Guilelmus Studemund et Leopoldus Cohn. Ἐν Βερολίνῳ 1890 σ. 28.

γραφῆς τῆς πρώτης τῶν ἐπιστολῶν, ἐχούσης ὧδε· Τοῦ ὑπερτίμου πατρὸς κυροῦ Εὐθυμίου ἐπιστολὴ πρὸς τὸν Ἀθηνῶν κῦρον Μιχαὴλ τὸν Χωνιάτην. Γνωστὸν δ' εἶνε, ὅτι ὁ μοναχὸς Εὐθύμιος Ζυγαβηνὸς ἔγραψε κατ' ἐντολὴν τοῦ αὐτοκράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ (1081-1118) μέγα θεολογικὸν ἔργον, τὴν Δογματικὴν Πανοπλίαν. Καὶ ἐπέζησε μὲν καὶ μετὰ τὸν θάνατον τοῦ αὐτοκράτορος, ἀλλ' εἶνε πρόδηλον, ὅτι δὲν εἶνε δυνατὸν νὰ ὑπῆρξεν οὗτος ὁ Εὐθύμιος ὁ γράψας τὴν ἐπιστολὴν πρὸς τὸν Μιχαὴλ Χωνιάτην, χρηματίσαντα μητροπολίτην Ἀθηνῶν περίπου ἀπὸ τοῦ 1175 μέχρι τοῦ 1205. Συνέβη δῆλα δὴ ἐνταῦθα τὸ αὐτὸ σφάλμα, ὅπερ διέπραξε καὶ ὁ Fabricius προσγράψας εἰς τὸν Εὐθύμιον Ζυγαβηνὸν τὴν μονῳδίαν, ἣν συνέταξεν ἐπὶ τῷ θανάτῳ τοῦ Εὐσταθίου Θεσσαλονίκης, συμβάντι μεταξὺ τῶν ἐτῶν 1192 καὶ 1194, ὁ Εὐθύμιος Μαλάκης.

Τοῦ Εὐθυμίου Μαλάκη λοιπὸν καὶ ὄχι τοῦ Εὐθυμίου Ζυγαβηνοῦ ἐπιστολὰς περιέχει, ὡς εἰκός, ὁ προμνημονευθεὶς Codex Philippicus 1480, ὡς τρανῶς ἀποδεικνύεται ἐκ τῆς πρώτης ἐπιστολῆς. Δημοσιεύων δ' αὐτὴν ἐνταῦθα, θεωρῶ ὅλως περιττὸν νὰ συναναγράψω ἐν ταῖς κριτικαῖς σημειώσεσι καὶ τὰ πάμπολλα περὶ τοὺς τόνους καὶ τὰ πνεύματα σφάλματα τοῦ κώδικος τούτου τοῦ δεκάτου πέμπτου αἰῶνος.

## Τοῦ ὑπερτίμου πατρὸς κυροῦ Εὐθυμίου ἐπιστολὴ πρὸς τὸν Ἀθηνῶν κυρὸν Μιχαὴλ τὸν Χωνιάτην

Ἀνδρείαν μὲν καὶ στρατηγίαν τῶν Ἀθηνῶν ἐκλιπεῖν Σόλωνός τε νομοθεσίαν καὶ τἆλλα, ὅσα πόλιν συνιστᾷ καὶ δῆμον κοσμεῖ, κἀγὼ σύμφημι· συνεκδημῆσαι δὲ καὶ σοφίαν καὶ λόγων χάριτας οὐδεὶς πείσει με λόγος, ἕως ἂν Ἀθήνηθεν κομίζωμαι γράμματα οὕτω κομψά τε καὶ καλλιρρήμονα. νομίζω γὰρ ἢ μήπω Πλάτωνα τεθνάναι καὶ Δημοσθένην καὶ τοὺς λοιποὺς Ἀθήνησι σοφιστάς, ἢ θανόντας ἀναβιῶναι καὶ τὰς Ἀθήνας αὖθις περιλαλεῖν· τοσοῦτον γέμει σου χαρίτων τὰ γράμματα, σοφὴ

5 κομίζομαι ἐκ τοῦ τὸ πρῶτον γραφέντος κομίζωμαι. 6 καλλιρήμονα. 8 θανῶντας. 9 γέμη.

καὶ φίλη μοι κεφαλή, οὕτω σοι λαμπρὸν οἱ λόγοι τὸ τῆς σοφίας ἀποστίλβουσι κάτοπτρον.

κἂν γοῦν ὑδάτων οἱ κρουνοὶ τὴν Ἀθηναίων πόλιν ἐπέλιπον, κἂν ποταμοὶ καὶ πίδακες ἀπεψύγησαν, ἀλλὰ τὰ τῆς σῆς σοφίας ῥεῖθρα περιλιμνάζουσιν αὐτὴν καὶ κατάρδουσιν. αὖα τοῖς παραδείσοις καὶ ἄκαρπα τὰ φυτά, ἀλλ' οἱ τῆς σοφίας λειμῶνες ὡς εὐανθεῖς καὶ πολύκαρποι. ἄνευ μελισσῶνος ὁ Ὑμηττός, ἀλλ' ὑπερβλύζει τὸ τοῦ λόγου μέλι τοῖς Ἀθηναίοις καὶ τὸν ὄντως γλυκασμὸν ἀποσταλέντα τὰ ὄρη καὶ οἱ βουνοὶ τὴν ἀληθεύουσαν ἀγαλλίασιν. ἠχρείωται ἡ χρυσέα ζώνη τῷ καιρῷ τυραννηθεῖσα καὶ τὸ τοῦ χρυσοῦ κάλλος ὀλέσασα, ἀλλὰ κοσμεῖ τὴν πόλιν τὸ χρυσίζον ἄνθος τῶν ἀρετῶν, ὅσα λαμπρῶς τὸν ἀρχιποίμενα περιστέφουσι καὶ τὴν ἐκ θεοῦ περιζωννύουσι δύναμιν. σὺ καὶ Μαραθὼν τροπαιοῦχος τοῖς Ἀθηναίοις καὶ πίων γῆ καὶ σιτοφόρος καὶ ζείδωρος· καὶ ἵνα τοῦ τελειοτέρου μνησθήσομαι, σὺ βωμὸς ἀληθὴς Ἐλέου μᾶλλον ἢ τὸ πεπηγὸς Ἀθήνησιν ἵδρυμα, ἀμφοτέραις ὅ φασι τοῖς χρῄζουσιν ἐπαντλῶν καὶ τιθεὶς τὸ σὸν μέρος τὴν τυραννοῦσαν πενίαν τῆς Ἀττικῆς ὑπερόριον· ὥστε σὲ τρόπον ἄλλον καὶ ἐλευθερωτὴν Ἀθηναίοις ἀναφῦναι πλεῖν ἢ Ἀλκμαίωνα ἐκεῖνον τὸν ἐντεῦθεν ὑμνούμενον. εἰ δὲ ἐξ οὐρανοῦ τούτοις ὄμβρος ἐξέλιπεν, ἀλλ' οὐ σύ γε Αἰακοῦ τὴν ἀρετὴν ἐνδεέστερος, ὡς μὴ καὶ ὑετὸν οὐρανόθεν τῇ σῇ πόλει κατενεγκεῖν ἐκτάσει μόνῃ χειρῶν, ὡς αὐτίκα μὲν τὰς ἀρούρας πλησθῆναι [κῶδ. φ. 16] καὶ μεθυσθῆναι τὰς αὔλακας, ὡς αὐτίκα δὲ καὶ χόρτον ἐξανατεῖλαι καὶ χλωριάσαι τῆς γῆς τὸ πρόσωπον καὶ θέρος ὑποσχέσθαι βαθὺ τὰ λήια.

10 λαπρὸν. 11 κάτοπτρον. 14 περιλυμνάζουσιν. 17 ὑμητὸς. 19 ἀποσταλεῖσα. ἴσως γραπτέον ἀποσταλάζουσι (Σ. Λάμπρος). 21 ὠλέσασα. 23 γραπτέον ὅσαι (Σ. Λάμπρος). 24 περιζωνύουσι. 29 τυ$^{\nu}$ρανοῦσαν. 30 ἀττηκῆς. 31 ἀναφεῖναι.

οὐ τοίνυν ἀφανισμοῦ πεδίον οὐδὲ κοιλὰς κλαυθμῶνος ἡ σὲ λαχοῦσα πόλις, ἄνθρωπε τοῦ θεοῦ, ὡς τὸ σὸν δήπου γράμμα ταύτης κατετραγῴδησεν, ἀλλὰ χῶρος μακάρων, ἀλλὰ πόλις περιοχῆς, ἀλλὰ πεδίον Ἠλύσιον· τὰ μὲν γὰρ νῦν σκυθρωπὰ μία καιροῦ ῥοπὴ λύσειεν, ἢ ὄμβρων ἄνωθεν ἐνεχθέντων ῥαγδαίων, ὡς ἀθρόον πάντα κατακλυσθῆναι τὰ τῆς αὐχμηρίας δεινὰ ἢ ὁλκάδων ποθὲν ἀναπλησθεισῶν τοῦ Πειραιέως, αἳ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα τοῖς Ἀθηναίοις κομίσουσιν· εἰ δὲ μὴ ταῦτα, ἀλλ' ὁ τῶν θαυμασίων θεὸς καὶ ἐν λιμῷ πάντως θρέψει καὶ ἄρτοις ὀλίγοις κορέσει λαὸν πεινῶντα καὶ κατὰ τοὺς πολλοὺς φάναι λαίμακα· καὶ παραθήσεται μὲν ἀνὴρ Ἀθηναῖος τράπεζαν πένησιν ἄρτου τρύφος φέρουσαν μόνον ἢ ἐγκρυφίαν ὀλίγον κρίθινον καὶ οὐχ ὅπως οὐ κρεῶν εὐμοιροῦσαν· πῶς γὰρ ἔνθα μὴ πόα, μὴ ποίμνιον, ἀλλ' οὐδὲ ἰσχάδας ἔχουσιν ἢ ἐλαίας, ταῦτα δὴ τῶν Ἀθηνῶν τὰ θρυλήματα, βαστάσει δὲ μετὰ τροφὴν καὶ περίσσευμα καὶ τῶν ἐκ γειτόνων τάχα παραμυθημάτων. τὰ μὲν σκυθρωπὰ ταῦτα τοῖς Ἀθηναίοις οὔπω γε πάντως πρὸς τὸ ἱλαρώτερον ταχὺ μετασκευασθήσεται, ὁ δὲ παρὰ σοῦ τῇ σῇ πόλει κόσμος καὶ αἱ τῶν ἀγαθῶν χορηγίαι παντοδαπά τε καὶ παραμόνιμα. καὶ χαίροις ὁ τῆς πανάγνου κόρης θύτης ἐπάξιος, ὁ τοῦ καινοῦ φωτὸς ἀληθὴς ἐπόπτης, ὁ τὴν εὐδαιμονίαν ἀνασώζων τῇ Ἀττικῇ· χαίροις, καὶ τὸ σὸν λάχος μετ' εὐπαθείας ὑπὸ σοῦ ποιμαινόμενοι καὶ γινωσκόμενοι καὶ γινώσκοντες, δίχα δὲ κραυγῆς καὶ θορύβων ἀνακηρύττοντες τὸν ποιμαίνοντα, ὡς οἵ γε μακαρισμοῦ μὲν τὸν σφῶν ἀξιοῦντες ἀρχιερέα, φωνῶν δὲ τὸν ἀέρα πληροῦντες καὶ ἀταλῶς τῇδε κἀκεῖσε ᾄττοντες καὶ περιφερόμενοι, ἀσχημονοῦντές τε πολλὰ καὶ ὅλως τὸν τοῦ Μάρκου εἰκονίζοντες, ἀθλιώτεροί γε οὗτοι καὶ τοῦ καθ' ἡμᾶς βαρβάρου λαοῦ

47 ζεῖν. 49 θρέψειε. 50 πεινόντα. 52 σπένησι. 53 (καὶ 96) οὐχ'. 57 περίσευμα. 59 ἱλαρότερον. 69 κακείσαι.

τοῦ πλήξαντος καὶ διώξαντος καὶ αὐτόθεν δῆλοι μὴ καλῶς ποιμαινόμενοι.

ἀλλ' εὖ γε ποιῶν ὁ λόγος ἐπὶ τὸν οὕτω μακαριζόμενον ἀρχιερέα κατήντηκεν. εἶδες οὖν, εἶδες, ἄνθρωπε τοῦ θεοῦ, ἐπισκοπικὴν τυφομανίαν ἢ ἄνοιαν ἢ ἀπόνοιαν [κῶδ. φ. 2α] ἢ οὐκ οἶδ' ὅ τι καὶ φῶ τὸν ὅσα κακίαν ἀνθρώπου χαρακτηρίζουσι καὶ φαυλότητα. εἶδες μοναχικὴν μοχθηρίαν ἢ ἀκαταστασίαν ἢ καὶ διαγωγὴν ὄντως ἀμόναχον, παρὰ δὲ ταῦτα καὶ βοήθειαν καταπολεμοῦσαν καὶ ὠφέλειαν καταβλάπτουσαν. δέον γὰρ λογικῶς ἀντιλαβέσθαι τοῦ φιλουμένου καὶ ἠρέμα τοῖς ἔργοις τοῖς κατ' αὐτοῦ κατηγορίας ἀποσκευάσασθαι, ὁ δὲ εἰς ἀπαιδεύτους καὶ βαρβαρικὰς οἰκονομίας ἐχώρησε λαοσυνακτῆσαι καὶ τοὺς ἀντιδίκους ἐκφοβῆσαι παντοίως· ὥστ' ἢ μὴ λέγειν ἢ τὰ δοκοῦντα τῷ κατηγορουμένῳ λέγειν, εἴ πως τὸν κίνδυνον διαφεύγωσιν.

κάκιστε ἀνθρώπων, ἀληθῶς ἐμβρόντητε, εἰς δικαστήριον μετεγκληθεὶς ἢ εἰς παράταξιν ἥρπασέ μου τὸ ἱμάτιον ὁ ἐπίσκοπος. ἀντιθεῖναί σε ἔδει τὸ οὗ καὶ ἀποδείξεις τὸν κατήγορον ἀπαιτεῖν, ἢ τὸ 'ἅγιός ἐστιν ὁ ἐπίσκοπος' ἀντεπάγειν μυριογλώσσῳ καὶ ἀταλῇ βοῇ καὶ ὕβρεις καταχέειν τῶν ἀντιδίκων καὶ χεῖρας ἐπιβάλλειν καὶ διασπᾶν. ἐνταῦθα δὲ ἀλλὰ ἀνάσχου τι καὶ σὺ μικρὸν ὁ τὰ πάντα καλός· πόρρωθεν ηὐλαβοῦ τὸ φιλοπαίγμον τῶν ἐν Εὐρίπῳ, ἐγγὺς δὲ οὐχ ὑπέτρεσας, οὐκ ἐμίσησας; οὐδ' ἐπειράσω καταστεῖλαι ἀταξίαν τοσαύτην καὶ διαλῦσαι τοσοῦτον σύλλογον, ἢ μὴν ἐκστῆναι δικαστηρίου τοιούτου; ἄλλος δὲ καὶ καταδίκῃ ἂν ἐπήγαγε τοὺς τοιαῦτα συσκευασαμένους καὶ τὰς ἐπιτριβομένας αὐτοῖς αἰτιάσεις οὕτω διαφυγεῖν πειρωμένους. εἰ τοιαύτην ἔδειξας τὴν ὁρμήν, βαβαί, πόσους ἂν εἶδες ἄλλον ἄλλοθεν ἐκθορόντας καὶ τὰ ἐπενεχθέντα τούτοις

76 τυφανίαν. 81 λογικῶν. 84 ἐχώρησεν. 90 ἀντιθῆναι. 93 ἐπιβάλειν. 96 εὐρίππω. 100 ἐπιτριβωμένας. 102 βάβαι. 103 ἐκθορῶντας.

ἐπιβοωμένους δεινά· ὅπερ καὶ οἱ τοῦ ἐπισκόπου παιδευτὴν συνιδόντες καὶ φοβηθέντες φόβον οὗ φόβος ἦν πολεμικῶς καὶ ἀπαιδεύτως παρεσκευάσθησαν· ὡς ἂν ἅπας ὁ κατειπεῖν βουλόμενος καὶ ὑποπτήξεις καὶ ὀπήν τινα καὶ γωνίαν τοῦ δικαστηρίου ἀλλάξηται. 'ἅγιος ὁ ἐπίσκοπος ἡμῶν, ὑπεράγιος'. τί δέ; οὐχὶ ἄνθρωπος καὶ τῆς τρεπτῆς ἡμῶν φύσεως, ἵνα τι καὶ μικρόν ποτε ἴσως παρασφαλῇ ἢ κἂν δόξῃ παρασφαλῆναι; Ἰησοῦς δέ, ὁ τῆς ἁγιωσύνης ταμίας, ὁ καὶ τοὺς ἁγιαζομένους ὡς πιστεύομεν ἁγιάζων, καὶ κατηγορίαις ὑπήχθη καὶ δικαστήριον κατεδέξατο καὶ λεγεῶνας ἀγγέλων πλουτῶν πλείους τῆς ἀταλοῦ μοίρας τῶν Ἑβραίων οὐκ ἀπεχρήσατο ταῖς δυνάμεσι. τί γοῦν ἐκώλυε καὶ αὐτὸν εἰς δικαστήριον ἱκόμενον ὑπακοῦσαι [κῶδ. φ. 2β] καὶ σωφρονικῶς ἀπαντῆσαι καὶ δικαίως τὸν ἁγιασμὸν καὶ εὐδαιμονίαν (?) ἀποκληρώσασθαι; τί τὸ συνειδός γε πάντως ὁ δεινὸς καὶ ἰσχυρότατος τύραννος, ἵνα μὴ τῶν ἀλλοτρίων αὐτῷ περιαιρεθέντων πτίλων, τῶν ἔξωθεν περιαπτομένων δηλαδὴ χρηστολογιῶν, ὁ κολιὸς ἀνακαλυφθείη καὶ ἡ κρυπτομένη δυσμορφία θεατρισθῇ.

εἶεν· ἀλλ' ἐπέπληξας αὐτός, ἀλλ' ὠνείδισας· ὡς μὴ τὰ πρὸς θεραπείαν ἡμετέραν αἱρούμενος; ἠγνόησας ἄρα σπείρων κατὰ πετρῶν καὶ ἀδάμαντα ἕψων καὶ ἀποσμήχων Αἰθίοπα; κἂν γὰρ εἰς συναίσθησιν ἐλθεῖν ἔδοξέ σοι καὶ τοῦ παντὸς ἀνθαιρεῖσθαι τὴν καθ' ἡμᾶς ἀγάπησιν ἐξωμόσατο, ἀλλὰ τὰ συνήθη καὶ πάλιν εἶπε καὶ ἃ πολλάκις εἰπὼν ἐψεύσατο· μᾶλλον δέ, ὧν ἀεὶ τὰ ἐναντία καὶ φρονεῖ καὶ ἐργάζεται. τοσοῦτον γὰρ ἀπέχει τοῦ ἀγαπᾶν οἱονδήτινα, ὅσον καὶ οὐρανὸς ἀποδιίσταται γῆς· οὐ τῇ ἑαυτοῦ φύσει μόνῃ ἑπόμενος, ἀλλὰ καὶ τῷ παιδευτῇ πειθαρχῶν, ᾧ μηδὲν ἄλλο ἔργον καὶ σπούδασμα

105 φοβηθέντες:· οὗ. γρ. φόβον:· ἐν τῇ ὤᾳ. 114 λεγεῶνας:· πλουτῶν. γρ. ἀγγέλων ἐν τῇ ὤᾳ. 117 ἡκόμενον. 120 ἀλοτρίων. 121 πτίλων ἐκ τοῦ τὸ πρῶτον γραφέντος πτύλων. 124 ὠνείδησας. 125 ἠγνώησας. 127 αἰθίωπα. συνέσθησιν.

ἢ τὸ μεγάλα ἀνθρώπων τιθέναι σκάνδαλα καὶ τὰ γένη κατ' ἀλλήλων ἐπανιστᾶν τέκνα τε διαμερίζειν ἐπὶ γονεῦσι καὶ αὖ ἐπὶ τέκνοις γονεῖς· οὐ κατὰ τὸ ἐν εὐαγγελίοις ἀλληγορούμενον, ἀλλ' ἵνα θύσωσιν ἁπλῶς ἀλλήλους καὶ ἀπολέσωσι καὶ πανωλεθρίᾳ γένος ὅλον παραπεμφθείη. οἷα πολλὰ πολλάκις αὐτὸν ἐν Εὐρίπῳ δρῶντα ὁ ἥλιος ἐθεάσατο· ὡς κινδυνεύειν γε λοιπὸν τὸν ἐπίσκοπον, τοῦτο μόνον εἰπεῖν εὐστόχως, ὡς ἄνδρες οὐκ εἰρηνικοὶ παραρριπτοῦσιν ἡμῖν τὰ σκάνδαλα. ὡς δέ σου καὶ θεαθῆναι τὸν ἐπίσκοπον ἔγραψας, ὡς ἂν ἡμᾶς ἐξευμενίσῃς αὐτόν. ἀλλ' ἐνταῦθα πέπεισμαί σε παρακοῦσαι ἢ παριδεῖν· αὐτῷ μὲν γὰρ οὔτε στόμα λαλεῖν τι, οὔτε προαίρεσις τοιαῦτα ζητεῖν. ὁ δὲ τὸ μῖσος ὑποβάλλων καὶ πρὸς μάχας ἐγείρων αὐτὸς καὶ τὰς ὑπὲρ Ἄρεα παρακλήσεις πάντως ἐποίει τὴν μέλαιναν ὑφορώμενος· οἷος αὐτὸς τὰ τοιαῦτα δεινότατος καὶ ὑπανάψαι μάχην ὀξὺς καὶ ἄρτι ἐκκαλέσασθαι προχειρότατος καὶ τὸ θράσος λίαν πολὺς καὶ τὴν δειλίαν ἀσύγκριτος, δυσμενέστατος ἀνθρώπων καὶ μαχιμώτατος, καὶ τὸ ἱλαρὸν ὑποκρινόμενος καὶ γαλήνιον, ἄλλα φρονῶν καὶ ἄλλα φθεγγόμενος· ἄλλα πράττων καὶ ὑποκρινόμενος ἕτερα· ποικιλώτερος χαμαιλέοντος, Πρωτέως πολυμορφότερος [κῶδ. φ. 3α] καὶ παρδάλεως τὰ στίγματα περισσότερος· εἴπω τὸ πᾶν, ἀθεώτερος, καὶ τέλος τὴν ἡδονὴν κατ' ἐπικουρίαν τιθέμενος· τοσαυτάκις εἰς ἐκκλησίαν εἰσερχόμενος, ὁσάκις εἰς τὸ καπηλεῖον ὁ Ἀθηνῶν· τότε ψάλλων, ὅτε ὁ Πατρῶν τραγῳδεῖ· τότε μόνον μνημονεύων θεοῦ, ὅταν ὅρκων αὐτῷ χρεία πρὸς ἐξαπάτην τινός· τότε μόνον τὸ μέγα σχῆμα φορῶν καὶ ἀναίδην τοῦ τραχήλου ἀπαιωρῶν, ὅταν ἢ τιμὴν παρὰ τῶν ἀγνοούντων πιστεύοιτο, ἢ κόλασιν ὑποπτευομένην ἀποσκευάζοιτο, τὰ δ' ἄλλα ὑπὸ σκότος καὶ γωνίαν τιθεὶς καὶ τοῦτο μό-

136 γονεῦσιν. 139 ἀπολέσωσιν. πανωθρία. 140 εὐρίππω. 145 ἐξεύμενήσης. 153 μαχιμότατος. 156 ποικιλότερος. 157 περισσότερος. 160 ψάλων.

νον εὐσεβὲς καὶ ὅσιον δρῶν, τὸ τὰ α . . . μα(?) κρίνειν ἀφ' ἑαυτοῦ. εἰ δὲ σχολὴν ἦγεν ὁ λόγος εἰπεῖν, ὅθεν καὶ ὅπως μοναχὸς καὶ μεγαλόσχημος γέγονεν, ἀμφότερον ἂν Δημοκριτίους τέ σοι γέλωτας ἀνεκίνησε καὶ Ἡρακλείτου τὸ στυγνὸν καὶ δακρυόεν προὐξένησεν. τότε δὲ καὶ τοῦ πραιτωρίου ἀποδημῶν καὶ τῆς μετὰ τῶν φορολόγων καθέδρας ἀπανιστάμενος, ὅταν ὁ δρόμος ἡλίῳ παύοιτο. θαυμαστόν, εἰ μὴ καὶ δακρύοντα εἶδες καὶ οὕτω τὴν εὐμένειαν ἐκκαλούμενον· ἐγὼ δὲ καὶ ἐπινεύοντα κατεῖδον ἐνθένδε τῇ ἑαυτοῦ στρατιᾷ καὶ ᾧ μὲν τῶν μοναχῶν τραχυτέραν ἐπαφεῖναι γλῶτταν ἐγκελευόμενον, ᾧ δὲ καὶ δεξιὰν ἐπανατείνασθαι πληκτικῶς (?). τὰ γὰρ τῶν νυκτῶν ἔργα καὶ τὰς τηνικαῦτα στρατολογίας τί ἂν καὶ λέγοιμι;

οὕτω, θεσπέσιε δέσποτα, ἡ ἐν Εὐρίπῳ ἐνδημία τῆς σῆς ἁγιότητος κατεσοφίσθη τοῖς καταράτοις καὶ τὰ σφίσι θελητὰ(?) κατεπράξατο· καὶ αὐτὸς ἄνθρωπος ὢν εἰς πρόσωπον εἶδες μόνον καὶ τοίχοις κεκονιαμένοις ἐνέβλεψας, τὴν δ' ἐντὸς σαπρίαν οἱ πάλαι μαθόντες ἴσασιν, οἱ πολλάκις ἐπὶ τὰ ἐνδότερα παρακύψαντες καὶ τῆς ἐκεῖθεν ἐμπλησθέντες δυσοδμίας ἐφ' ἱκανόν.

ἀλλὰ δώσει καὶ σοὶ πάντως ὁ χρόνος ἀκριβεστέραν τὴν περὶ τούτων κατάλεξιν.

Ἡ ἐπιστολὴ αὕτη παρέχει μέγιστον ἐνδιαφέρον, ὡς βλέπει ὁ ἀναγνώστης, ἐπειδή, ὡς ἡ ὑπ' ἀριθμὸν κ' ἐπιστολὴ τοῦ Μιχαὴλ Ἀκομινάτου ἦτο ἀπάντησις εἰς τὴν ὑπὸ τοῦ Λάμπρου (1) ἐκδοθεῖσαν ἐπιστολὴν τοῦ Εὐθυμίου, οὕτως ἡ ἀνωτέρω ἐκδοθεῖσα ἐπιστολὴ ἦτο ἡ ἀπάντησις τοῦ Εὐθυμίου εἰς αὐτὴν ἐκείνην τὴν κ' ἐπιστολὴν τοῦ Ἀκομινάτου. Δι' αὐτῆς πειρᾶται ὁ Εὐθύμιος νὰ παραμυθήσῃ τὸν Μιχαὴλ ἐπὶ τῇ διαμονῇ αὐτοῦ ἐν Ἀθήναις. Αὐτόχρημα δὲ προφητικῶς προμαντεύει, ὅτι ὁ Μιχαὴλ Ἀκομινᾶτος εἶνε ὁ ἀνὴρ ὁ προωρι-

167 γραπτέον ἀλλότρια (Σ. Λάμπρος). 170 ἀνεκίνησεν. 172 πραιτρίου. 174 δακρύωντα. 177 ἐπαφῆναι. 181 εὐρίππῳ.

(1) Μιχαὴλ Ἀκομινάτου Τόμ. Β' σ. 399 κ. ἑ.

σμένος νἀποδώσῃ καὶ πάλιν τὴν ἀρχαίαν αἴγλην εἰς τὴν ἄλλοτε περιώνυμον πόλιν. Καὶ τὸ δεύτερον δὲ μέρος τῆς ἐπιστολῆς τοῦ Εὐθυμίου πολλὰ διδάσκει ἡμᾶς. Ὁ Μιχαὴλ εἶχεν ἀποπειραθῆ διὰ τῆς ἐπιστολῆς του νὰ ἐπιφέρῃ τὴν συνδιαλλαγὴν τοῦ ἐπισκόπου Εὐρίπου Βαλσὰμ, ὅν εἶχεν ἐγκαταστήσει κατ' ἐντολὴν τοῦ πατριάρχου, μετὰ τοῦ Εὐθυμίου. Ἀλλ' ὁ Εὐθύμιος ἐξεικονίζει τὸν ἀνάξιον ἐπισκοπικοῦ θρόνου ἄνδρα ἐκεῖνον διὰ χρωμάτων οὕτω ζωηρῶν, ὥςτε οὐδαμῶς ἐπιτρέπεται νἀμφιβάλλωμεν, ὅτι ὁ Βαλσὰμ βραχὺν χρόνον μετὰ τὴν ἐπιστολὴν ταύτην θὰ καθῃρέθῃ.

Αἱ δὲ ἄλλαι ἐν τῷ κώδικι περιλαμβανόμεναι ἐπιστολαὶ καὶ τὰ λοιπὰ ἔργα τοῦ Εὐθυμίου οὐδεμίαν δυστυχῶς ἔχουσιν ἀξίαν. Πλὴν τῶν ὀλίγων κυρίων ὀνομάτων τῶν ἀνδρῶν, εἰς οὓς ἀπευθύνονται αἱ ἐπιστολαί, οὐδ' ἐλάχιστόν τι νέον διδασκόμεθα ἐξ αὐτῶν. Ὁ δὲ Κωνσταντῖνος ὁ τῶν Πατρῶν, εἰς ὅν ἐστάλησαν δύο τῶν ἐπιστολῶν τοῦ Εὐθυμίου, εἶνε πιθανῶς ὁ ἐπὶ τοῦ ἐπισκοπικοῦ θρόνου προκάτοχος τοῦ Εὐθυμίου.

Ἡ δ' ἐπιγραφή, ἡ ἀρχὴ καὶ τὸ τέλος τῶν ὑπολοίπων τούτων ἐπιστολῶν ἔχουσιν ὧδε·

φ. 3α: β': Ἑταίρῳ· Ἀλλ' ἡμῖν ἀεὶ καὶ ἀπὼν — μοι τοῦτο παρὰ θεοῦ.

φ. 3β: γ': Ἀντίγραμμα ἑταίρῳ· Ἧκεν ἡμῖν ὀψέ ποτε — Εὐρυσθέως ἐξανύσομεν.

φ. 4α: δ': Δεητικὸν οἴκτου δεόμενον· Καὶ τὸν αἰσθητὸν ἥλιον — καταφυγὼν σκεπασθήσομαι.

φ. 4α: ε': [Ἀνεπίγραφος]· Καὶ γραῖ μὴ δεχόμενος — ἡμᾶς ἐπικούφιζε.

φ. 4β: ς': Πρὸς ἀξιωματικὸν ἀτάσθαλον ὄντα· Οὐ τῶν προχειρισάντων — τὰ ὅμοια πείσονται.

φ. 4β: ζ': Ἑταίρῳ· Οὔτε τῶν φίλων ἡ μνήμη — χαράξαι προήχθημεν.

φ. 5α: η': Ἑταίρῳ· Πάλιν ἡμᾶς ὁ κάκιστος — ἀδιάπτωτος δέξηται.

φ. 5β: θ': Βάρδᾳ ἀρχιτελώνῃ· Ἀπείρηκα — καὶ δικαίου κριτοῦ.

φ. 6α: ι′: Νικολάῳ διακόνῳ καὶ κουβουκλεισίῳ· Ἡμῖν δὲ οὐδὲ — συντηρηθῆναι ἀπείρατον.

φ. 6β: ια′: Ἑταίρῳ· Οὐ περὶ τῇ τοὺς λόγους — καθ' αὐτῆς ἐπαγγέλλεται.

φ. 7α: ιβ′: Κωνσταντίνῳ μητροπολίτῃ Πατρῶν· Ἀλγῶ μὲν ὡς — σφετερισάμενα.

φ. 7β: ιγ′: Γρηγορίῳ μοναχῷ· Οὐκ ἐπέλιπον — τὴν ἴασιν.

φ. 7β: ιδ′: Κωνσταντίνῳ μητροπολίτῃ Πατρῶν· Ἀνέμαθον τὰ συμβεβηκότα — πειρασμοὺς ὑποφέρουσιν.

φ. 8α: ιε′: Εἰς φλύαρον καὶ ἀπαίδευτον· Καὶ παιδείας δὲ — περιπνέῃ τὸ κάθαρμα.

φ. 8β: ις′: Ἑταίρῳ μὴ ταχέως γράψαντι· Καὶ τοῦτο δεῖγμα — γαληνιάσαντος κλύδωνος.

φ. 8β: ιζ′: Ἀντίγραμμα πρὸς τὸν γράψαντα φίλον· Βαθὺ μὲν τῷ — πάντων ἐπίληθες.

φ. 8β: ιη′: Ἰωάννῃ κληρικῷ· Εἰ μὲν τὸ πόμα — ψυχραῖς ὑποτρέφεσθαι.

φ. 9α: ιθ′: Ἐπιφανίῳ χαρτουλαρίῳ πρὸς τὸ φέρειν τὰς ὕβρεις γενναίως· Οὐκ ἐν γωνίᾳ — ἐσμὲν εὐγενέστεροι.

φ. 9β: κ′: Πρὸς τὸν κατὰ πνεῦμα πατέρα· Μηδέποτε λήθην — κρείττονος ἐπαφίεσθαι.

φ. 10α: κα′: Τῷ αὐτῷ· Εἰ μὲν πρὸς ὃν — ταύτην προήχθημεν.

φ. 10α: κβ′: Ἑταίρῳ παραίνεσις σπείσασθαι τῷ φίλῳ καὶ αὐτομολεῖν πρὸς τὴν κακίαν· Ἐν ἀνθρώποις —

φ. 11β: κγ′: Πρὸς τὸν ἐξ ἀναξίων πλούσιον γεγονότα καὶ φιλίας ὀλιγωροῦντα καὶ ἑαυτοῦ ὥσπερ ἐπιλαθόμενον· Τοσοῦτόν ἐστιν — οὐκ ἔστιν ὄφελος.

φ. 11β: κδ′: Τῷ αὐτῷ· Καὶ πῶς ἂν ἐλεγχθείη — τὰ ἡμέτερα διευθύνοντι.

φ. 12α: κε′: Πρὸς δολιότροπον φίλον· Ἐγὼ δέ σε — λελύπηκα ἡμᾶς.

φ. 12α: κϛ': Ὑπομνήστρια διαφόρων ὑποθέσεων· Καὶ τὸ πῦρ εὐκαταπρήστου — πατέρων ἠθέτητο.

φ. 13α: κζ': Ἀπαιδεύτῳ κληρικῷ κακῶς διατεθέντι περὶ τὸν φίλον· Ἀλλ' ἴσθι σὺ — προσπλάττειν ἐπιχειρήσαντι.

φ. 13β: κη': Πρὸς τὸν καταφρονητικῶς διατεθέντα πρὸς τὸν φίλον ἢ καὶ πρὸς τὸν μὴ ἐπιστείλαντα· Ἀποστρέφεταί με πάντως—ῥυθμίζεσθαι πρὸς τὰ κρείττονα. φ. 14α.

φ. 14β: κθ': Πρὸς ἱερέα· Ἐμοὶ μὲν οὐ γράφειν — οὐ φαίνεται τοῖς ἀνθρώποις.

φ. 15α: λ': Πρὸς μονάζοντα· Καὶ πάλιν πρὸς τὴν — ἐνθησαυρίζειν ταῖς ἀποθήκαις.— φ. 15α.

Ἐν δὲ τῷ βιενναίῳ κώδικι Phil. Gr. 321 περιέχονται δύο λόγοι τοῦ Εὐθυμίου, δυστυχῶς ὄντες πολὺ ἀτελεῖς. Ὁ Λάμπρος ἐξέδωκεν ἐκ τοῦ κώδικος τούτου ἓξ ἐπιστολὰς γραφείσας ὑπὸ Γεωργίου τοῦ Τορνίκη πρὸς Μιχαὴλ τὸν Χωνιάτην (1). Πάντα δὲ τὰ ἐν τῷ κώδικι πρὸ τῆς πρώτης ἐπιστολῆς περιεχόμενα, ἤτοι τὰ ἐν τοῖς φύλλοις 9α-9β, εἶνε γεγραμμένα ὑπὸ τοῦ Εὐθυμίου.

Ἀλλὰ δυστυχῶς τῶν φύλλων τούτων ἡ σημερινὴ κατάστασις εἶνε οἰκτρά. Καὶ ἐν μὲν τῷ φ. 5β κάτω εὕρηται σεσημειωμένον α$^{ον}$, ἐν δὲ φ. 6α κάτω β', ἐν φ. 13β κάτω β, ἐν φ. 14α κάτω γ$^{ον}$. Ἐκ δὲ τῶν σημειωμάτων τούτων ἐξάγεται, ὅτι τὸ μὲν δεύτερον τετράδιον τοῦ κώδικος, τὸ ἐκ τῶν φύλλων 6-13 ἀποτελούμενον, εἶνε πλῆρες, ἀλλὰ τοῦ πρώτου τετραδίου περισώζονται μόνον πέντε φύλλα. Συνεχὲς δ' εἶνε τὸ κείμενον μεταξὺ τῶν φ. 2 καὶ 3, 3 καὶ 4, 5 καὶ 6. Ἐντεῦθεν γίνεται δῆλον, ὅτι τὰ ἐκπεσόντα τρία φύλλα τοῦ τετραδίου λείπουσι μεταξὺ τῶν φ. 1 καὶ 2 καὶ μεταξὺ τῶν φ. 4 καὶ 5. Ἀλλὰ τῶν ἐνταῦθα λειπόντων τούτων φύλλων δύο σώζονται ἔτι, εἶνε δὲ τὰ φύλλα τοῦ κώδικος 312 καὶ 313, ὧν ἡ ἀρχικὴ θέσις εἶνε μεταξὺ τῶν φ. 4 καὶ 5. Κατὰ ταῦτα ἡ ἀκολουθία τῶν φύλλων τοῦ πρώτου τούτου τετραδίου εἶνε ἡ ἑξῆς· 1, [λεῖπον] 2, 3, 4, 312, 313, 5 = 8 φύλλα.

(1) Μιχαὴλ Ἀκομινάτου Τόμ. Β' σ. 409-421.

Τοῦ πρώτου φύλλου μέρος μὲν εἶνε ἀποκεκομμένον πρὸς τὰ κάτω, ἡ δὲ γραφὴ εἶνε πολλαχοῦ ἐξίτηλος καὶ διαβεβρωμένη ὑπὸ τιλφῶν. Ἔχει δὲ ἡ ἀρχὴ τοῦ πρώτου λόγου ὧδε (1)·

.......... ἱερωτάτου μητροπολίτου νέων πατρῶν κυροῦ εὐθυμίου· μετὰ τὴν ἐκ τῆς περσ[ίδος ἐπάνοδον] | ἐπ[αν]ήκεις ἡμῖν ἐκ τῶν περσικῶν ἀγώνων κράτιστε βασιλεῦ: πέρσας μὲν ἐκεῖ ........ | τα ....... ῥήτορας καταγωνισάμενος· ἥκεις μετὰ τοῦ τῶν τροπαίων λαμπρῶν στεφάνου | ......... λόγων κράτος ἀναδησάμενος. σοὶ γὰρ δὴ μόνω πάντων ἀνθρώπων ὡς ἔοικεν ἅπαι..... | ......... χρῆμα ὡς σκιὰ τῶ σώματι ξυνέπεται καὶ παρέπεται. καὶ ὁ ....... | ........... καὶ ἀντιμάχη βαρβάροις, νικᾶς τοῖς ὅπλοις τὸ βάρβαρον | ...... βασιλικὸς φέρει σε θρόνος. καί σε περιίσταται τὸ γερούσιον, | .....τοῖς τροπαίοις ἐπιχορδεύσονται καὶ περικροτήσονται τὰ θαυμάσια, τότε | ... ...νικᾶς δὲ καὶ πᾶν ταῖς ἀρεταῖς τὸ ὑπήκοον καὶ....... | ...... τρόπαιον ἐπακολουθεῖ· μόνη ἂν ἡ σὴ γλῶττα τοῖς σοῖς ἔργοις ἀμιλληθ... κ.τ.λ.

Τὸ δὲ τέλος τοῦ ἐγκωμιαστικοῦ τούτου λόγου (φ. 7α) ἔχει ὧδε·

δὸς αὐτῶ τὸ νέστορος γῆρας. ἐπεὶ τὴν γλῶτταν ἔχεις πρὸ πολλοῦ χαρισάμενος τῶ δὲ βασιλεῖ καὶ παιδὶ, δὸς εἰκόνα γενέσθαι τοῦ αὐτοκράτορος ἀπαράμιλλον. τί γὰρ τούτου πλέον ζητήσομεν. καὶ εἴη νῦν μὲν τῶ μεγάλω φωστῆρι καὶ τῆ παμφαεῖ σελήνη συνανατέλλων ἐπὶ μακρὸν καὶ συνδιαυγάσων τὰ πέρατα. μετὰ δὲ, καὶ σοῦ πατρικοῦ ἅρματος εὐτυχῶς ἐπιβαίη. καὶ μεγάλης τῆς τοῦ πατρὸς ἐπιστήμης μέχρι πολλοῦ τοὺς τῆς ἀρχῆς διφρηλατήσειεν ἄξονας.

Τοῦ δὲ δευτέρου λόγου ἡ μὲν ἀρχὴ ἔχει ὧδε· τοῦ αὐτοῦ λόγος ἐπαινετοῦ τοῦ κατηχητ[ικοῦ] λόγου τοῦ ἀ.... | ....τι πάσχουσι θειότατε βασιλεῦ οἱ βροντῆς ἤχω μεγίστης τὰς ἀ-

(1) Διὰ γραμμῆς καθέτου δηλῶ τὸ πέρας ἑκάστου στίχου ἐν τῷ κώδικι.

κοὰς περικτυπηθέντες ἐξ αἰφνιδίου καὶ αὐτὸ δή. . . Τὸ δὲ τέλος (φ. 96 στ. 8) ἡμῖν πολυχρόνιον.

Καὶ ἐκ μὲν τοῦ δευτέρου λόγου οὐδέν τι πλέον ἐσημείωσα. Ἀλλὰ περὶ τοῦ πρώτου λόγου δύναμαι νὰ προσθέσω τινά. Καὶ δὴ ὁ χρόνος καθ' ὃν ἐγράφη δύναται νὰ ὁρισθῇ ἀκριβῶς. Καὶ πρῶτον μὲν ἐξεφωνήθη μετὰ τὸ ἔτος 1167, ὡς ἐξάγεται ἐκ τοῦ τέλους τοῦ λόγου, ἐν ᾧ γίνεται μνεία τοῦ υἱοῦ καὶ διαδόχου τοῦ αὐτοκράτορος· ἀλλ' ὁ μόνος υἱὸς τοῦ αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ καὶ τῆς δευτέρας αὐτοῦ συζύγου Μαρίας τῆς ἐξ Ἀντιοχείας Ἀλέξιος ἐγεννήθη τῷ 1167 ἢ 1169 (1). Ἀλλ' ἐξεφωνήθη καὶ πρὸ τοῦ ἔαρος τοῦ ἔτους 1176, ἐπειδὴ κατ' ἐκεῖνον τὸν χρόνον ἐπεχείρησεν ὁ Μανουὴλ τὴν κατὰ τῶν Τούρκων στρατείαν, ἥτις ἀπέληξεν εἰς πανωλεθρίαν διὰ τῆς κατὰ τὸ Μυριοκέφαλον μάχης. Μετὰ δὲ τὴν ἧτταν ταύτην κατ' Ὀκτώβριον τοῦ 1176 οὐδὲ Βυζαντῖνος ἐγκωμιαστὴς ἤθελε τολμήσει νὰ προσφωνήσῃ ὡς νικητὴν τὸν ἐξ οὕτως ἀτυχοῦς πολέμου ἐπιστρέφοντα αὐτοκράτορα. Ἀλλ' ὅμως μαρτυροῦσιν ὅ τε Ἰωάννης Κίνναμος (2) καὶ ὁ Νικήτας Χωνιάτης (3), ὅτι ὁ Μανουὴλ κατὰ τὸ προηγηθὲν ἔτος ἐστράτευσεν εἰς τὴν Ἀσίαν, καὶ ἐντὸς τεσσαράκοντα ἡμερῶν ἀνέκτισε τὸ ὑπὸ τῶν Τούρκων καταστραφὲν Δορύλαιον, ὅτε καὶ ἐνίκησε τοὺς Τούρκους ἐν διαφόροις ἀψιμαχίαις, μεθ' ὃ ἐπέστρεψεν εἰς τὸ Βυζάντιον. Κατὰ ταῦτα ὁ Εὐθύμιος ἐξεφώνησε τοῦτον τὸν λόγον ἐνώπιον τοῦ αὐτοκράτορος τὸ φθινόπωρον τοῦ 1175. Ἐκ δὲ τῆς πρὸς τὸν Ἀκομινᾶτον ἐπιστολῆς τοῦ Εὐθυμίου γινώσκομεν, ὅτι πράγματι τότε ὁ μητροπολίτης Νέων Πατρῶν εὑρίσκετο ἐν Βυζαντίῳ (4). Ἐπειδὴ δὲ οἱ περιζήτητοι ῥήτορες Μιχαὴλ Ἀκομινᾶτος καὶ Εὐστάθιος ὁ Θεσσαλονίκης εἶχον ἤδη ἀναχωρήσει ἐκ Κωνσταντινουπόλεως, οὐδεὶς ἦτο ἁρμοδιώτερος τοῦ Εὐθυμίου πρὸς ἐξύμνησιν τῶν ἄθλων τοῦ αὐτοκράτορος.

Ὁ Εὐθύμιος ἦτο μέγας ἐν λόγοις κατὰ Νικήταν τὸν Χωνιάτην (5). Εἶνε δὲ λυπηρόν, ὅτι τοιούτου ἀνδρὸς δὲν περιεσώθησαν

(1) Ἴδε *W. Regel* Fontes rerum Byzantinarum Τόμ. Α' σ. XIII.
(2) Ἐκδ. Βόννης σ. 294 - 298.
(3) Ἐκδ. Βόννης σ. 227 - 229.
(4) *Λάμπρου* Μιχαὴλ Ἀκομινάτου τὰ σωζόμενα Τόμ. Β' σ. 399.
(5) Ἐκδ. Βόννης σ. 430, 21.

πλείονα ἔργα. Καταπαύων δ' ἐνταῦθα τὰ περὶ αὐτοῦ, ἀνακοινῶ μακρὸν τεμάχιον ἐκ τοῦ πρώτου αὐτοῦ λόγου, ἐξ οὗ θέλει, ὡς πιστεύω, διαγνωσθῇ, ὅτι τὸ ὕφος τοῦ Εὐθυμίου ὑπερβάλλει μὲν τὸ τῶν συγχρόνων κατὰ τὴν ἁπλότητα καὶ τὴν σαφήνειαν, ἐξισοῦται δὲ ὡς πρὸς τὴν ζωηρότητα καὶ τὴν ἔξαρσιν.

[φ. 46] ἀλλ' ἦσάν σοι [τῷ αὐτοκράτορι] πᾶσαι μὲν νύκτες [φ. 312α] ἀγρυπνία μία, πᾶσαι δὲ ἡμέραι κάματος εἷς· ὄρθρος ἦν βαθὺς καὶ περιήχει μὲν ἡ σάλπιγξ, ἠγγέλλετο ὁ βασιλεὺς ἱππαζόμενος. ὁ ἥλιος ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε (1) καὶ προέκοπτε νὺξ καὶ ἐπὶ σκηνῆς ὁ βασιλεὺς οὐδαμοῦ. ἧκεν ὄρθρος πάλιν καὶ ἡ σάλπιγξ τὸν αὐτοκράτορα κατεμήνυε· καὶ ἰδεῖν μὲν ἢ ἀκοῦσαι εἰς τὴν σκηνὴν τοῦτον εἰσιόντα οὐκ ἦν, ἐξιόντα δὲ τεκμήρασθαι ἦν. τί θαυμάζεις, ὦ Ὅμηρε, τὸν βασιλέα μιᾷ νυκτὶ διαγρηγορήσαντα καὶ τῶν ἄλλων ἡδὺ καθευδόντων αὐτὸν ἀγρυπνοῦντα καὶ πολλὰ φρεσὶν ὁρμαίνοντα καὶ διασκοπούμενον; τάχα γὰρ Ἕκτωρ ἔοικεν αὐτὸν ἐξυπνίσαι κατεπεμβῆναι τῶν νηῶν προσδοκώμενος εἶτα καὶ μέχρι τῆς τοῦ Νέστορος σκηνῆς ἡ ἐγρήγορσις. τὰ δὲ ἑξῆς Νέστορος μὲν ἡ βουλή, Διομήδους δὲ τὸ ἔργον· καὶ ἄπεισι μὲν αὐτὸς ἐς Τρῶας κατάσκοπος, ὁ δὲ Ἀγαμέμνων πάλιν ἐπὶ σκηνῆς· ἡμῖν δὲ ἀλλ' οὔτε φόβος ἀντιπάλου καὶ προσδοκωμένη τάχα τροπὴ τὸν αὐτοκράτορα διανίστησιν, οὔτε νὺξ ἄϋπνος μία· ἄλλος μὲν τὰ δέοντα βουλευόμενος, ἄλλος δὲ τοὺς πόνους ἀναδεχόμενος. ἀλλ' αὐτὸς ἀεὶ καὶ γρηγορεῖ καὶ βουλεύεται· καὶ ἄπεισι νυκτὸς κατὰ τῶν βαρβάρων ὁ μηδὲ τῆς ἡμέρας σφῶν ἀποσχόμενος.

τρέψον τοίνυν ἐφ' ἡμᾶς τὴν γλῶτταν, ὦ σοφὲ ῥαψῳδέ, καὶ ὕμνει βασιλέα καὶ στρατιώτην μεγάλης Μούσης δεόμενον. σὺ ἄρα ἦσθα βασιλεῖ τοιούτῳ προσήκων. ὡς γὰρ οὐκ ἤνεγκεν ὁ χρόνος ποιητὴν Ὁμήρου σοφώτερον, οὕτως οὐδὲ βασιλέως τοῦ νῦν κρατοῦντος στρατηγικώτε-

(1) ἔδυ. 20 ἀλλ' ὡς. ἄλλο.

ρον. τούτῳ ἂν δικαίως μαχομένῳ μετὰ βαρβάρων ἐκεῖνό σου τὸ ἔπος ἐφήρμοσε. σάφ' οὐκ οἶδ', εἰ θεός ἐστιν ἢ δ' ὅ γ' ἀνήρ· ὃ δὴ πάντως καὶ ἡμῖν πολλάκις λέγειν ἐπέρχεται. ὁρῶντες γὰρ αὐτὸν τὰ ὑπὲρ φύσιν ἀνδραγαθοῦντα καὶ τὰ ὑπὲρ ἄνθρωπον ἐργαζόμενον εἰς ἐννοίας ὑψηλὰς ἀνατρέχομεν καὶ μύθοις μὲν οὐ προσέχομεν οὐδὲ θεοὺς γενεαλογοῦμεν καὶ οὐρανίων τινὰς καταλέγομεν, θείαν δὲ ὅμως φανταζόμεθα φύσιν καὶ θεῖον ἄνθρωπον ἐννοοῦμεν καὶ πειθόμεθα λέγειν, ὁπόσον ὑπεραναβαίνει τὸν ἄνθρωπον.

Πυθία δὲ καὶ νῦν εἴπερ ἦν καὶ τὰ Πυθίας χρηστήρια, πολλῷ ἂν πλέον διηπόρει περὶ τοῦ ἡμετέρου βασιλέως, ἢ Λυκούργου ἐκείνου τοῦ κρατοῦντος ἐν Λακεδαίμονι, τί ἄρα τοῦτον καλέσειεν εἴτε θεὸν εἴτε ἄνθρωπον. τῷ ὄντι γάρ, ὦ παρόντες, καί μοι νεμεσήσῃ μηδείς, μηδὲ θωπείας γράψηταί μου τὸν λόγον. νῦν σῶμα μὲν ἀνθρώπου, νοῦς δὲ θεοῦ βασιλεύει· μᾶλλον δέ, ὥσπερ ἐστὶ τῷ βασιλεῖ μου θειοτάτη τις ἡ ψυχή, οὕτω δὴ καὶ τὸ σῶμα καινῆς τινος κράσεως καὶ συνθέσεως καὶ ὑπὲρ φύσιν οὕτως βροτείου σώματος, ὅσῳ καὶ παντοίοις πόνοις γίνεται ἀνάλογον καὶ παντελῶς ἄτρυτον καὶ ἀκάματον.

νῦν ἡμῖν προκάθηται βασιλεύς, ᾧπερ οὐ μία τις τῶν Μουσῶν προσφοιτῶσα, καθάπερ τινὶ λέγεται τῶν παρ' Ἕλλησι βεβασιλευκότων, ἐκδιδάσκει τὴν βασιλικὴν ἐπιστήμην, ἀλλ' ὃν αἱ πᾶσαι τιμαλφὲς καταγώγιον ἐξ αὐτῆς εὑροῦσαι γενέσεως θυμόσοφον ὡς ἀληθῶς ἀπειργάσαντο, καὶ οἶδε μὲν εἴπερ τις ἄλλος, ὅπως δὴ τῇ ἐξουσίᾳ χρηστέον καὶ πῶς τὰ κατὰ τὴν βασιλείαν διοικητέον· ἔχει δὲ καὶ τὴν στρατηγικὴν ἐπιστήμην, ὡς οὐκ οἶδα εἴ τις Θεμιστοκλῆς ἢ Βρασί[δας], οὕσπερ θαυμάζουσιν Ἕλληνες. οὐ μὴν οὐδεὶς τὸν στρατιώτην ἠρνήσατο· ἀλλ' οἶδε μὲν ἐπ' ἀμφότερα κινεῖν τὴν ἀσπίδα ὑπὲρ τὸν περιώνυμον Ἕκτορα· οἶδε καὶ τὸ τόξον βάλλειν εὐστόχως ὑπὲρ Τεῦκρον καὶ Πάνδαρον· προπηδᾷ

δὲ καὶ Διομήδους πλέον μαχόμενος, ὁποτέροισι μετείη μὴ γινωσκόμενος· ἐκβοῆσαι δὲ καὶ τοὺς ἐχθροὺς καταπλῆξαι καὶ φυγεῖν ἀναγκάσαι καὶ Πηλείωνος αὐτοῦ φοβερώτερος· δειπνῆσαι δὲ καὶ τὸ παρατυχὸν Ἐπαμινώνδου καὶ Σκηπίωνος ἑτοιμότερος καὶ δεῆσαν ὑπνῶσαι τῆς βασιλικῆς χρυσοπάστου κλίνης τὸ ἔδαφος ἀσμένως ἀλλάξασθαι· συνόλως δὲ εἰπεῖν ἀπαρνεῖται τὸν βασιλέα παρὰ τὸν τῆς ἐκστρατείας καιρόν· καὶ ποιεῖται μὲν τὴν γῆν καὶ κλίνην καὶ τράπεζαν, ἐντρυφᾷ δὲ τῇ μάζῃ [φ. 312β] καὶ νᾶμα πίνει ποτάμιον· καὶ χόρτος μὲν αὐτῷ χλωρὸς ὑποστρώννυται, ὑπὸ δὲ κεφαλὴν ἡ ἀσπὶς καὶ ὁ θώραξ σκέπη τῷ σώματι. ὕπνος δὲ εἰ μέν τις αὐτοῦ καὶ ἅπτοιτο λέγειν οὐκ ἔχω, εἰ δὲ ἄρα καὶ μικρὸν ἐπιμύσει, στρατηγικὰ δήπου καὶ τὰ ἐνύπνια, πανοπλίαι περισκοπούμεναι καὶ φάλαγγες συνταττόμεναι καὶ καταδρομαὶ βαρβάρων καὶ φυγαὶ καὶ βοαί καὶ δὴ ζώγρει γοργότερον ἐξορχούμενος, ὦ παντ' ἐφορῶν ἥλιε καὶ παντ' ἐπακούων. ἡδέως ἂν σου πυθοίμην, εἴ ποτέ τι γλυκύτερον εἶδες ἄλλο θέαμα ἢ βασιλέα τηλικοῦτον συναπιόντα τοῖς κομίζουσι τὰ χορτάσματα καὶ τροφαῖς τοσούτων μυριάδων ὑποτρέφων. μάννα μὲν γὰρ οὐκ ἦν ὗσαι τὸν οὐρανόν, οὐδὲ βλῦσαι ὄρνιθας τὸν ἀέρα, ὅτι μηδὲ λαὸς ἦν ἀπειθὴς ἐκεῖσε καὶ κατὰ τοὺς Ἑβραίους γογγυστὴς καὶ μικρόψυχος· ἐπεὶ δὲ ὅμως τρέφεσθαι τὸ στράτευμα καὶ κίνδυνος ἦν ὑπὸ βαρβάρου πεσεῖν τὸν ἀπιόντα τὴν βαρβάρου τροφὴν κομίσασθαι ἀναδέχεται, καὶ ταύτην ὁ βασιλεύς μου τὴν μέριμναν, μᾶλλον καὶ τοῦτον ὑπὲρ τῶν ὑπηκόων ἁρπάζει τὸν μόχθον, εἴτ' οὖν τὸν κίνδυνον· καὶ ἀναλαμβάνων ἑκάστης ἡμέρας τοὺς δεομένους τροφῆς μέχρι καὶ ἐπὶ τὰ βαρβαρικὰ χωρία τούτους ἀφόβως ὡδήγει καὶ παρεῖχε συγκομίζειν μετ' ἀφθονίας ὅπερ ἂν ἕκαστος βούλοιτο. ἐπεὶ δὲ καὶ ἐπανήκειν ἔδει καὶ μεγάλα μὲν ἦν τὰ φορτία, μέγας δὲ καὶ ὁ παρὰ τῶν ἀδικουμένων βαρβάρων κίνδυνος, βασιλεὺς

80 γοργώτερον. 85 βλύσαι.

ἦν αὖθις ὁ προηγούμενος κἀκεῖνα δὴ τὰ θεῖα τούτοις ἐπιφθεγγόμενος· δεῦτε πρός με πάντες οἱ πεφορτισμένοι κἀγὼ ὑμᾶς ἀναπαύσω, τὴν ὁδὸν ἀκίνδυνον παρασχών. καὶ Ῥωμαῖοι μὲν οὕτω τῶν Περσικῶν κατεσπατάλων καρπῶν καὶ τοῖς τῶν βαρβάρων ἀγαθοῖς ἐνετρύφων καὶ τὰς ἀγέλας ἤλαυνον καὶ τὰ ποίμνια· Πέρσαι δὲ καὶ πόρρωθεν ὁρῶντες ὑπέστενον καὶ ἤθελον μὲν ἀμύνεσθαι καὶ θυμοῦ καὶ μένους ἐπίμπλαντο, βαλλόμενοι δὲ τῷ φόβῳ τοῦ αὐτοκράτορος ἐπεπήγεσαν· πλὴν εἰ μή τινες κακοδαιμονοῦντες καὶ οἷς ὁ τοῦ βίου τάχα κλωστὴρ ἐπήλπικε ὀλίγον ὑπεκδραμόντες τῆς βασιλικῆς χειρὸς ἔργον γεγόνασι. μετὰ τῶν ἀσταχύων γὰρ αὐτοὶ θερισθέντες καὶ εἰς λεπτὴν κατ' ἐκείνους ἐκλικμηθέντες ἀχυρμιὰν ὡς ἐπικαιρότατα λοιπὸν λέγεσθαι παρὰ τουτωνὶ τῶν βαρβάρων ἐκεῖνο δὴ τὸ ψαλλόμενον· τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων. οὐ γὰρ μόνον αὐτοῖς ἐξέλιπε τὰ γεώργια, καὶ τοὺς καρποὺς αὐτῶν ἀπὸ τῆς γῆς ὁ αὐτοκράτωρ ἀπώλεσεν, ἀλλὰ καὶ οὓς ἐγέννησαν παῖδας ἀπὸ υἱῶν ἀνθρώπων ἠφάνισε· ταῦτ' ἄρα καὶ ὅσοι μὲν εἰς μάχαιραν, εἰς μάχαιραν τὸ τοῦ Ἱερεμίου εἰπεῖν, ὅσοι δὲ εἰς λιμὸν καὶ ὅσοι εἰς αἰχμαλωσίαν, εἰς αἰχμαλωσίαν. καὶ γὰρ οὐ λιμαγχονῶν μόνον ὁ βασιλεύς, οὐ γὰρ μαχαίρᾳ κτείνων τοὺς βαρβάρους ἠρκέσθη, ἀλλὰ καὶ ᾐχμαλώτισε καὶ ἠνδραποδίσατο· καὶ οὐδὲ παύσεταί γε πάντως τὰ τοιαῦτα ποιῶν, ἕως ἂν τῇ τῶν Ῥωμαίων ἀρχῇ τοὺς οἰκείους ὅρους ἐπανασώσηται καὶ ὑποτάξας ἔθνη τὰ διακενῆς φρυαττόμενα τὸν τῆς μοναρχίας ταύτης ἐπενδύσῃ χιτῶνα, ὑφ' οὗ τὸ πρὶν ἐσεμνύνετο. τάχα γὰρ ἤκουσε τῆς ****, ἤκουσε τοῦ δεσπότου διὰ τῆς Δαυϊτικῆς προφητείας παρεγγυῶντος καὶ λέγοντος· αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου· καὶ φιλονεικεῖ τὴν φωνὴν εἰς ἔργον ἐκβῆναι καὶ τὴν ἑαυτοῦ κληρονομίαν ἀπολαύειν. ναὶ μέντοι κἀκεῖνα τῶν Ἡσαΐου πρὸς αὐτὸν εἰρῆσθαι

δοκῶν· πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, μάκρυνον τὰ σχοινίσματά σου· οὐ μὴ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου φησὶν, οὐδὲ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ σκήνωμα τῷ θεῷ. κυρίου δὲ τόπος τίς ἂν ἕτερος εἴη, ἢ ὁ καθαρεύων χῶρος τῶν εὐσεβῶν καὶ τὰ θεῖα τεμένη καὶ τὰ σεπτὰ φροντιστήρια; ταῦτα δὴ [φ. 313α] τὰ πάλαι μὲν Ῥωμαίοις σχοινίσματα, νῦν δὲ τῶν ἀσεβῶν ὁρμητήρια. ὦ πῶς τὸν βασιλέως ζῆλον ἐνδιηγήσομαι; πῶς τὴν φλόγα δημοσιεύσω τὴν τὰ ἐντὸς αὐτοῦ διαπυρπολήσασαν; ὡς γὰρ ἐπὶ τὰ ἐνδοτέρω τῆς Περσίδος ἐχώρει καὶ πόλεις μὲν ἑώρα κειμένας, ἃς αἱ Ῥωμαίων πάλαι χεῖρες ἀνήγειραν, νεὼς δὲ τοὺς θείους ἀνεστραμμένους, ἐν οἷς θεὸς παρὰ τῶν εὐσεβῶν ἐδοξάζετο. ζηλῶν ἐζήλωκε τῷ κυρίῳ καὶ ὁ ζῆλος τοῦ θείου οἴκου τοῦτον κατέφαγε. καὶ ἦν μετὰ μὲν Ἱερεμίου τὴν κοιλίαν ἀλγῶν καὶ πενθῶν ὡς ἐπὶ τῇ ἐρημώσει τῆς Ἱερουσαλὴμ, μετὰ δὲ τοῦ ἐμοῦ Ἰησοῦ ἐκεῖνα δὴ ἐν εὐαγγελίοις φθεγγόμενος· πῦρ ἦλθον βαλεῖν ἐπὶ τῆς γῆς καὶ τί θέλω ἰδεῖν, εἰ ἤδη ἀνήφθη, οὐκ ἐκεῖνο τὸ φαινόμενον μόνον, δι' οὗ τὴν τῶν βαρβάρων ἐπυρπόλησε γῆν καὶ τοὺς καρποὺς αὐτῶν ἐξηφάνισε, ἀλλὰ καὶ ὅπερ αὐτὸς ἔκρυπτεν ἔνδον ὑπὸ τοῦ ζήλου τοῦ κατὰ θεὸν ἐκτρεφόμενον.

ποικίλος τις ἦν ἄρα τότε ὁ βασιλεὺς καὶ πολλοῖς κατεμερίζετο πάθεσιν· ἤσχαλλεν ἐπὶ ταῖς ἡρπαγμέναις πόλεσιν παρὰ τῶν βαρβάρων, ἐδάκρυεν ἐπὶ τοῖς βεβηλωθεῖσιν ἁγίοις, ἐθυμεῖτο κατὰ τῶν κυνῶν τῶν ἀναιδεστάτων, οἳ τῶν ἁγίων τοῦ θεοῦ κατεπέβησαν· ἐθαύμαζε τὴν θεοῦ μακροθυμίαν, ὅπως ἐπὶ τοσοῦτον ἠνέσχετο τοὺς καλοὺς αὐτοῦ μαργαρίτας ὑπὸ τῶν χοίρων πατουμένους ὁρῶν· διελοιδορεῖτο τοῖς βασιλεῦσιν ἐκείνοις, οἳ τῶν τοῦ κράτους ἐξαιρέτων τοῖς ἐχθροῖς ὑπεξέστησαν· ἐμέμφετο καὶ τοὺς, ὅσοι μετ' ἐκείνους ἀπόνως ἔφερον καὶ ἠγάπων ἐπὶ τοσούτοις ὑπὸ βαρβάρων πλεονεκτούμενοι.

152 ἐκεῖνον.

μόνον εἶχε θαυμάζειν τὸν ἑαυτοῦ δικαίως γεννήτορα, διότι ἄρα τοὺς κατὰ τουτωνὶ τῶν βαρβάρων ἄθλους καὶ τοὺς ἀγῶνας τῇ ἑαυτοῦ ζωῇ συγκατέλυσε. βασιλεὺς ὄντως ἐκεῖνος καὶ τηλικούτου μὲν υἱὸς βασιλέως, τηλικούτου δὲ πατὴρ αὐτοκράτορος, ὅς, ἐξ ὅτου τὴν βασίλειον ἀρχὴν διεζώσατο καὶ ἐπὶ τὸν πατρικὸν ἐκάθισε θρόνον, τῶν ἀρετῶν καὶ τοῦ κράτους ὁμοῦ διάδοχος, ἐξ ἐκείνου γενναίως πρὸς τὸν κατὰ Περσῶν ἐπαπεδύσατο πόλεμον, ὁ θεὸς, λέγων· ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, καὶ μέντοι καὶ τὰ τούτοις ἔτι πρόσφορα προστιθείς· κύριε, τοὺς μισοῦντάς σε ἐμίσησα καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην· τέλειον μῖσος ἐμίσουν αὐτούς· ὅθεν καὶ οὐκ ἀνῆκε βάλλων τούτους καὶ καταπολεμῶν καὶ τὰς ἡρπαγμένας σφίσι πόλεις ἀνταφαρπάζων καὶ Ῥωμαίοις αὖθις ἀποδιδοὺς, ἕως οὗ συναπῆλθε τοῖς κατ' αὐτῶν ἀγῶσι καὶ τοῖς παλαίσμασι καλὸν ἐντάφιον κομισάμενος τὸ πεσεῖν ὑπὲρ εὐσεβείας καὶ ἀνεγεῖραι τοῖς πιστοῖς τὰ φρονήματα καὶ ἀπὸ τοῦ καταλόγου τῶν βασιλέων ἐπὶ τὸν χορὸν τῶν ἁγίων μεταπηδήσας καὶ τὴν ἐγγὺς τοῦ παμβασιλέως στάσιν λαχών· τοίου πατρὸς εὔχεται εἶναι ὁ ἡμέτερος οὗ καὶ τοιούτου γε ὄντος· ἀλλ' ἐγὼ περὶ τοῦ παιδὸς θαρρούντως λέγω δανεισάμενος τὸ Ὁμήρειον· πατρὸς δ' ὅγε πολλὸν ἀμείνων.

ἀλλ' ὦ ἀνόητοι βάρβαροι· ὦ ἔθνη σκληροτράχηλα καὶ σιδηρεόφρονα· γνῶτε ταῦτα καὶ ἡττᾶσθε· γνῶτε μαχόμενοι πρὸς τὸν τῶν ἀνέκαθεν βασιλέων καὶ αὐτοῦ πατρὸς ἀνδρικώτερον καὶ εἰπεῖν τοῦ πατρὸς βολαῖς συνεφρύγεσθε. τί ἂν ὑπὸ τοῦ τοσούτου παιδὸς καὶ πείσεσθε, οὗ μίαν ἀκτῖνα καὶ προβολὴν οὐκ ἠνέγκατε; μάθετε, ὡς θεός ἐστι μεθ' ἡμῶν, βασιλεὺς, ᾧ οὔτε σῶμα κάμνει μαχόμενον, οὔτε νοῦς ἀμβλύνεται βουλευόμενος. ἐπίγνωτε, ὡς θεία τις ἀνέστη φύσις διὰ τοῦ αὐτοκράτορος, καὶ διασκορπίζεσθε καὶ φεύγετε ἀπὸ

185 κατὰ λόγου.

προσώπου αὐτοῦ καὶ ὡς καπνὸς ἐκλείποντες οἴχεσθε. ἀλλὰ ποῦ δῆτα καὶ φεύξεσθε; ποῖ ἄρα καὶ καταδύσασθε; ἐὰν εἰς οὐρανὸν ἀναβῆτε τὰ τῶν ὀρῶν ὑψηλότερα, ἐκεῖ καὶ τοῦτον εὑρήσετε τὸν πάσης γῆς ὑψηλότερον καὶ ἅψεταί γε τῶν ὀρῶν πάντως καὶ καπνισθήσονται· ἀστράψει ἀστραπὴν καὶ σκορπιεῖ ὑμᾶς. ἢ οὐ ταῦτα πρὸς τὸν ὑμέτερον ἄντικρυς σύλλογον προφητεύων λέγει καὶ Ἀβδιού· ἡ ὑπερηφανία τῆς καρδίας συνεπῆρέ σε κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν. τίς με κατάξει λέγεις ἐπὶ τὴν γῆν; ἐὰν μετεωρίσθῃς ὡς ἀετός, ἐὰν ἀναμέσον τῶν ἄστρων θῇς νοσσιάν σου, ἐκεῖθεν κατάξω σε, λέγει κύριος· ἐὰν [φ. 313β] περιβάλησθε πτέρυγας καὶ εἰς τὰ ἔσχατα τῆς θαλάσσης κατασκηνώσητε, ἐκεῖ ὑμᾶς ἡ δεξιὰ κατάξει τοῦ αὐτοκράτορος. καὶ γὰρ κατάρχει καὶ τῶν ἐν θαλάσσῃ μακράν. ἂν δὲ καὶ κατὰ ποταμῶν κυβιστήσητε καὶ ῥοῦν ποτάμιον νυκτὸς περιβάλησθε λαθεῖν τὸν αὐτοκράτορα μηχανώμενοι, ἀλλ' οὐδ' ἐνταῦθα τὸν ἀνίκητον διαδράσετε. ἀλλ' οἱ μὲν ποταμοὶ φωνὰς ἀροῦσιν αὐτῶν, ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν ἀπὸ φωνῶν ὑδάτων πολλῶν καὶ βρυχήσονται μέγα τὰ ῥεῖθρα ταῖς τῶν ἡμετέρων ἵππων μυριάσιν ἀνακοπτόμενα· ὁ δὲ αὐτοκράτωρ καὶ πόρρωθεν τὸ καινὸν κατανοήσεται τοῦ βρυχήματος καὶ τῶν ἄλλων ἁπάντων διαπορούντων καὶ συνιδεῖν οὐκ ἐχόντων, τίς ὁ νύκτερος ἦχος οὑτοσὶ καὶ παράδοξος, μόνος αὐτὸς καὶ ποταμὸν βρυχώμενον ἐπιγνώσεται καὶ παμπληθῆ Περσῶν στρατεύματα διαπεραιούμενα. ὢ νοὸς δραστηριότης μέχρι καὶ ἐπὶ μαντικὴν ὀξύτητα διαβαίνουσα. ὢ ἐμπειρία στρατηγικὴ μηδὲ νυκτὶ παραχωροῦσα τοῦ κρείττονος· ὦ διανοίας γρήγορον ὄμμα καὶ τὰ πόρρωθεν φθάνον ὁρᾶν τὰ σκότῳ κρυπτόμενα, μόνος ὑμῖν Ἅιδης εὐπρεπὲς, ὦ βάρβαροι, καταγώγιον· ἐφ' ὃν κἂν αὐτοὶ μὴ θείπτε τὴν καταφυγὴν, ἀλλὰ καὶ ἄκοντες πάντες ὑπὸ τοῦ βασιλέως συνελαθήσεσθε.

---

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000041492